eul_wid: rrg-bn

*Χρυσοποιὸς Αʹ* · Alchemist I

# On the Making of Beer

*Περὶ ζύθων ποιήσεως*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.372.(1t) ΠΕΡΙ ΖΥΘΩΝ ΠΟΙΗΣΕΩΣ Λαβὼν κριθὴν λευκὴν, καθαρίαν, καλὴν, βρέξον ἡμέραν αʹ, καὶ ἀνάσπασον ἢ καὶ κοίτασον ἐν ἀνηνέμῳ τόπῳ ἕως πρωΐ· καὶ πάλιν βρέξον ὥρας εʹ· ἐπίβαλε εἰς βραχιώνιον ἀγγεῖον ἠθμοειδὲς, καὶ βρέχε. Προαναξήρανε ἕως οὗ γένηται ὡς τύλη· καὶ ὅτε γένηται, ψῦξον ἐν ἡλίῳ ἕως οὗ πέσῃ· τὸ μαλίον γὰρ πικρόν. Λοιπὸν ἄλεσον καὶ ποίησον ἄρτους προσβάλλων ζύμην ὥσπερ ἄρτου· καὶ ὄπτα ὠμότερον· καὶ ὁτ’ ἂν ἐπανθῶσιν, διάλυε ὕδατι γλυκεῖ καὶ ἤθμιζε διὰ ἠθμοῦ ἢ κοσκίνου λεπτοῦ. Ἄλλοι δὲ ὀπτῶντες ἄρτους βάλλουσιν εἰς κλουβὸν μετὰ ὕδατος, καὶ ἑψοῦσι μικρὸν, ἵνα μὴ κοχλάσῃ, μήτε ᾖ χλιαρὸν, καὶ ἀνασπῶσι καὶ ἠθμίζουσιν· καὶ περισκεπάσαντες, θερμαίνουσι καὶ ἀνακρίνουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org